λέξον· Χερουβὶμ τοὐπιβαίνοντος τόπος
ἡγνισμένος τε; καὶ γὰρ οὐκ ἔγνων γάμου
οὐχ ἡδονὴν, οὐ πεῖραν οὖσα Παρθένος.
πῶς δ' ἐς ἀνάνδρῳ παιδίον τεκεῖν Κόρῃ;
αἰνῶς δέδοικα μὴ πλανήσῃς με πλάνῃ
ὄφις καθὰ πρὶν τὴν Προμήτορα ξένε.
Ἀσώματος δ' ἔφησε τῇ Κόρῃ πάλιν·
νικᾷ τὸ θεῖον ἔνθα βούλεται φύσιν,
πράττει δ' ὑπὲρ νόον τε τῶν βροτῶν ξένα,
πίστευε τοίνυν τοῖς ἐμοῖς πιστοῖς λόγοις
ἄχραντε μήτηρ τοῦ πρὸ αἰώνων λόγου.
ἡ δ' αὖ πρὸς αὐτόν· ὡς τὸ σὸν γένοιτό μοι
νῦν ῥῆμα· τὸν δ' ἄσαρκον ἐξ ἐμοῦ ξένως
λαβόντα σάρκα τέξομαι θεὸν λόγον·
ὡς ηὐδόκησεν αὐτὸς αὐτεξουσίως.
εἰς ἀξίωμα τὸ πρὶν ὡς αὖθις φέρῃ,
τὸν Πρωτόπλαστον τῇ φθορᾷ πεπτωκότα
δεινῇ γυναικὸς κῳφίου συμβουλίῃ.

## Εἰς τὸ, ΓΛΩ͂ΣΣΑΝ ἫΝ ΟΥ̓Κ ἜΓΝΩ.

Ἣν οὔποτ' ἔγνω κοὐδ' ἀκήκοε, ξένην
ἤκουσε γλῶτταν ἀγγέλου νῦν παρθένος
ἄγγελμα τερπνοῖς προσκομίζοντος λόγοις.
πίστει δὲ τὴν πρόσρησιν ἐκδεδεγμένη,
ἐν γαστρὶ ἔσχεν ἐν χρόνῳ τὸν ἀχρόνως